ΧΟ. Κτανὼν ἄρ᾽ ἥξεις, ἢ θανὼν αὐτοῦ μενεῖς. |⏑ –|⏑ –‖– –|⏑ –‖– –|⏑ –

THE ORDER, AND ENGLISH ACCENTUATION.

γε αν ξυνείη έμοι δία αιώνος αλύπος. ΗΡ. *Ξένοι, κωμήται τήσδε Φεραίας χθόνος, άρα κίγχανω Αδμήτον εν δομοίσι;* ΧΟ. *Παις Φερήτος έστι εν δομοίσι, Ἡρακλεις. Ἀλλα είπε, τις χρεία πέμπει σε χθόνα Θέσσαλων, προσβήναι τόδε Φεραίον άστυ;* ΗΡ. *Πράσσω τίνα πόνον Τιρύνθιῳ Ευρύσθει.* ΧΟ. *Και ποι πορεύει; Τῳ πλάνῳ ξυνεζεύξαι;* ΗΡ. *Μέτα τετρώρον ἅρμα Διομήδους Θρήκος.* ΧΟ. *Πως ουν δυνήσει; Μων ει απείρος ξένου;* ΗΡ. *Απείρος· ούπω ήλθον χθόνα Βίστονων.* ΧΟ. *Ουκ έστι σε δέσποσαι ἵππων άνευ μάχης.* ΗΡ. *Ἀλλα ούδε οίον τε μοι απείπειν τους πόνους.* ΧΟ. *Κτάνων άρα ἥξεις, η θάνων μένεις αύτου.*

TRANSLATION.

at least she would be [*Smiling joyously, and seeming delighted.*] with me for ever without once causing pain!

Hercules. [*Entering.*] Ye strangers, inhabitants of this land of Phérës, can I find Admétus in the palace?

Chorus. The son of Phérës is in the palace, Hérculës. But inform me what business sends thee to the country of the Thessálians, occasioning thee to come to this city of Phéræ?

Hercules. I am performing a certain labor for the Tirýnthian Eurýstheus. Chorus. [*Inquisitively.*] And whither goest thou? Upon what roving-expedition art thou bound?

Hercules. After the four-horse chariot of Díomede the Thracian.

Chorus. How then wilt thou be able? Art thou ignorant of this lord?

Hercules. [*Assentingly.*] Ignorant:—I have never as yet been to the land of the Bistónians. Chorus. It is not that thou canst make thyself master of these steeds, without battle!

Hercules. But neither is it possible for me to renounce the labors.

Chorus. Having slain, then, thou wilt [*Glancing significantly at the hero.*] come back,—or being slain thou wilt remain there!

---

492. κωμῆται· οἱ γείτονες· κώμη γὰρ ἡ γειτονία ἡ γειτνία, *vicinitas*. Suidas.

493. κιχάνω, Lascáris, Aldus, &c. quod apértè métrum vítiat: restítuit Atticam fórmam κιγχάνω Gaisfórdius. Monk.

495. Some copies have πόλιν for χθόνα.

497. Eurýstheus was son of Sthénelus king of Argos and Mycénæ: having succeeded his father in the government of those kingdoms, he imposed on Hérculës several most difficult and dangerous enterprizes—known by the name of the twelve labors of that hero.

498. For ποῖ καὶ, all MSS. have καὶ ποῖ;

<table>
<tr><td>ΗΡ. Ὀυ τόνδ' ἀγῶνα πρῶτον ἂν δράμοιμ' ἐγώ.</td><td>– – | ⏑ – || ⏑ – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>ΧΟ. Τί δ' ἂν κρατήσας δεσπότην πλέον λάβοις;</td><td>– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>ΗΡ. Πώλους ἀπάξω κοιράνῳ Τιρυνθίῳ.</td><td>– – | ⏑ – || – – | ⏑ – || – – | ⏑ –</td></tr>
<tr><td>ΧΟ. Ὀυκ ἐυμαρὲς χαλινὸν ἐμβαλεῖν γνάθοις.</td><td>– – | ⏑ – || ⏑ – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>ΗΡ. Ἐι μή γε πῦρ πνέουσι μυκτήρων ἄπο.</td><td>– – | ⏑ – || ⏑ – | ⏑ – || – – | ⏑ ⏑</td></tr>
<tr><td>ΧΟ. Ἀλλ' ἄνδρας ἀρταμοῦσι λαιψηραῖς γνάθοις.</td><td>– – | ⏑ – || ⏑ – | ⏑ – || – – | ⏑ –</td></tr>
<tr><td>ΗΡ. Θηρῶν ὀρείων χόρτον, ὀυχ ἵππων, λέγεις.</td><td>– – | ⏑ – || – – | ⏑ – || – – | ⏑ –</td></tr>
<tr><td>ΧΟ. Φάτνας ἴδοις ἂν ἁίμασιν πεφυρμένας.</td><td>– – | ⏑ – || ⏑ – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>ΗΡ. Τίνος δ' ὁ θρέψας παῖς πατρὸς κομπάζεται;</td><td>⏑ – | ⏑ – || – – | ⏑ – || – – | ⏑ ⏑</td></tr>
<tr><td>ΧΟ. Ἄρεος, ζαχρύσου Θρῃκίας πέλτης ἄναξ.</td><td>⏑ ⏑ – | ⏑ – || – – | ⏑ – || – – | ⏑ –</td></tr>
<tr><td>ΗΡ. Καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις,</td><td>– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>(σκληρὸς γὰρ ἀιεὶ, καὶ πρὸς ἄιπος ἔρχεται,)</td><td>– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑</td></tr>
<tr><td>ἐι χρή με παισὶν, οἷς Ἄρης ἐγείνατο,</td><td>– – | ⏑ – || ⏑ – | ⏑ – || ⏑ – | ⏑ ⏑</td></tr>
<tr><td>μάχην ξυνάψαι, πρῶτα μὲν Λυκάονι,</td><td>⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑</td></tr>
<tr><td>ἀῦθις δὲ Κύκνῳ, τόνδε δ' ἔρχομαι τρίτον</td><td>– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑</td></tr>
<tr><td>ἀγῶνα πώλοις δεσπότῃ τε συμβαλῶν.</td><td>⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
</table>

THE ORDER, AND ENGLISH ACCENTUATION.

ΗΡ. Ου πρώτον αγάνα τόνδε έγω αν δραμοίμι. ΧΟ. Δε τι πλέον αν λάβοις κρατήσας δέσποτην; ΗΡ. Απάξω πώλους Τιρύνθιῳ κοίρανῳ. ΧΟ. Ουκ εύμαρες έμβαλειν χαλίνον γνάθοις. ΗΡ. Ει γε μη πνεούσι πυρ άπο μυκτήρων. ΧΟ. Ἀλλα αρταμούσι άνδρας λαιψήραις γνάθοις. ΗΡ. Χόρτον ορείων θήρων, ουκ ΐππων, λέγεις. ΧΟ. Αν ίδοις φάτνας πεφύρμενας άιμασι. ΗΡ. Δε παις τίνος πάτρος ὁ θρέψας κομπάζεται; ΧΟ. Ἄρεος, άναξ Θρῄκιας πέλτης ζαχρύσου. ΗΡ. Και τόνδε πόνον λέγεις του έμου δαίμονος, (γαρ αίει σκλήρος, και έρχεται προς αίπος,) ει χρη με ξυνάψαι μάχην παίσι, όις Ἀρης εγείνατο, πρώτα μεν Λυκάονι, δε αύθις Κύκνῳ,—δε έρχομαι τόνδε τρίτον αγώνα σύμβαλων πώλοις τε δέσποτῃ.

TRANSLATION.

Hercules. Not the first contest this in which I shall have entered the lists! Chorus. But what more wilt thou accomplish when thou hast subdued their owner? Hercules. I will drive away the horses to the Tirýnthian king. Chorus. It will not be an easy matter to put the bit in their chops. Hercules. [*Smiling.*] If at least they breathe not fire from their nostrils! Chorus. But they tear men to pieces—with their devouring jaws! Hercules. [*Laughing.*] The provender of mountain beasts, not of horses, thou discoursest about. Chorus. Thou mayest see their stalls distained with blood! Hercules. But son of what sire does their owner boast himself to be? Chorus. Of Mars, prince of the Thracian target rich with gold! Hercules. And this labor thou mentionest is one my fate compels me to, (for it is ever hard, and tends to arduous,) if I must join battle with sons whom Mars begat; first, indeed, with Lycáon, and then with Cýcnus,—and I come to this third combat, about to engage with the horses and their master.

505. *Not the first race this I may have run—not the first encounter I may have engaged in.* The taking of the mares of Dióomede was Hércules's eighth labor.

506. τί δ' ἂν πλέον λάβοις, *but what more wilt thou get? What progress* or *advance wilt thou have made?*

508 Hesýchius explains ἐυμαρὲς by ἐυχερὲς—ἀσφαλὲς—ῥᾴδιον.

510. ἀρταμοῦσι· μαγείρουσι· ἄρταμος γὰρ λέγεται ὁ μάγειρος. Scholiast.

514. The Scholiast, and (on his authority) Lascar and some others have Ἄρεως. The former joined ζαχρύσου with Ἄρεως or Ἄρεος, not with πέλτης. For Θρῃκίας most MSS. and editions have Θρακίας.

515. Verbally, *and thou speakest of this labor of my fate,* that is, *a labor my destiny subjects me to perform.*

516. πρὸς ἄιπος ἔρχεται, *tends to loftiness* or *steepness.* Hesychius gives χάραξ ἢ ὑψηλὸς τόπος as the signification of ἄιπος.

<table>
<tr><td>'Αλλ' ὀύτις ἐστὶν ὃς τὸν 'Αλκμήνης γόνον</td><td>− − | ⏑ − || ⏑ − | ⏑ − || − − | ⏑ ⏑</td></tr>
<tr><td>τρέσαντα χεῖρα πολεμίων ποτ' ὄψεται.</td><td>⏑ − | ⏑ − || ⏑ ⏑ ⏑ | ⏑ − || ⏑ − | ⏑ ⏑</td></tr>
<tr><td>ΧΟ. Καὶ μὴν ὅδ' ἀυτὸς τῆσδε κοίρανος χθονὸς</td><td>− − | ⏑ − || − − | ⏑ − || ⏑ − | ⏑ ⏑</td></tr>
<tr><td>"Αδμητος ἔξω δωμάτων πορεύεται.</td><td>− − | ⏑ − || − − | ⏑ − || ⏑ − | ⏑ ⏑</td></tr>
<tr><td>ΑΔ. Χαῖρ', ὦ Διὸς παῖ, Περσέως τ' ἀφ' ἅιματος.</td><td>− − | ⏑ − || − − | ⏑ − || ⏑ − | ⏑ ⏑</td></tr>
<tr><td>ΗΡ. "Αδμητε, καὶ σὺ χαῖρε, Θεσσαλῶν ἄναξ.</td><td>− − | ⏑ − || ⏑ − | ⏑ − || ⏑ − | ⏑ −</td></tr>
<tr><td>ΑΔ. Θέλοιμ' ἄν· ἐύνουν δ' ὄντα σ' ἐξεπίσταμαι.</td><td>⏑ − | ⏑ − || − − | ⏑ − || ⏑ − | ⏑ ⏑</td></tr>
<tr><td>ΗΡ. Τί χρῆμα κουρᾷ τῇδε πενθίμῳ πρέπεις;</td><td>⏑ − | ⏑ − || − − | ⏑ − || ⏑ − | ⏑ −</td></tr>
<tr><td>ΑΔ. Θάπτειν τιν' ἐν τῇδ' ἡμέρᾳ μέλλω νεκρόν.</td><td>− − | ⏑ − || − − | ⏑ || − − | ⏑ ⏑</td></tr>
<tr><td>ΗΡ. 'Απ' ὀῦν τέκνων σῶν πημονὴν ἔιργοι θεός.</td><td>⏑ − | ⏑ − || − − | ⏑ − || − − | ⏑ ⏑</td></tr>
<tr><td>ΑΔ. Ζῶσιν κατ' ὀίκους παῖδες, ὀὺς ἔφυσ' ἐγώ.</td><td>− − | ⏑ − || − − | ⏑ − || ⏑ − | ⏑ −</td></tr>
<tr><td>ΗΡ. Πατὴρ γε μὴν ὡραῖος, ἔιπερ ὀίχεται.</td><td>⏑ − | ⏑ − || − − | ⏑ − || ⏑ − | ⏑ ⏑</td></tr>
<tr><td>ΑΔ. Κἀκεῖνος ἔστι, χ' ἡ τεκοῦσά μ', Ἡράκλεις.</td><td>− − | ⏑ − || ⏑ − | ⏑ − || ⏑ − | ⏑ −</td></tr>
<tr><td>ΗΡ. 'Ου μὴν γυνή γ' ὄλωλεν "Αλκηστις σέθεν;</td><td>− − | ⏑ − || ⏑ − | ⏑ − || − − | ⏑ ⏑</td></tr>
<tr><td>ΑΔ. Διπλοῦς ἐπ' ἀυτῇ μῦθος ἔστι μοι λέγειν.</td><td>⏑ − | ⏑ − || − − | ⏑ − || ⏑ − | ⏑ −</td></tr>
<tr><td>ΗΡ. Πότερα θανούσης ἔιπας, ἢ ζώσης πέρι;</td><td>⏑ ⏑ ⏑ | ⏑ − || − − | ⏑ − || − − | ⏑ ⏑</td></tr>
</table>

THE ORDER, AND ENGLISH ACCENTUATION.

'Αλλα ὀύτις έστι ὃς πότε όψεται τον γόνον Αλκμήνης τρεσάντα χείρα πολέμιων. ΧΟ. Και μην ὅδε πορεύεται Αδμήτος αύτος κοίρανος τήσδε χθόνος έξω δώματων. ΑΔ. Χαίρε, ω παι Δίος, τε άπο ἁίματος Πέρσεως. ΗΡ. Χαίρε και συ, Αδμήτε, άναξ Θέσσαλων. ΑΔ. Αν θελοίμι' εξεπίσταμαι δε σε όντα εύνουν. ΗΡ. Τι χρήμα πρέπεις τῇδε πένθιμῳ κούρᾳ; ΑΔ. Μέλλω θάπτειν τίνα νέκρον εν τῇδε ἥμερᾳ. ΗΡ. Θέος ουν είργοι πήμονην άπο σων τέκνων. ΑΔ. Παίδες, ὀυς έγω εφύσα, ζώσι κάτα οίκους. ΗΡ. Πάτηρ γε, είπερ οίχεται, μην ὡραίος. ΑΔ. Και εκείνος έστι, και ἡ τεκούσα με, Ἡρακλεις. ΗΡ. Μην γε γύνη σέθεν Αλκήστις ουκ ολώλε; ΑΔ. 'Εστι δίπλους μύθος μοι λέγειν έπι αύτῃ. ΗΡ. Πότερα θανούσης είπας πέρι, η ζώσης;

TRANSLATION.

But [*Resolutely.*] none there is who shall ever behold the son of Alcména fearing the hand of his enemies.

Chorus. And lo! here comes Admétus himself, lord of this land, from out of the palace!

Admetus. [*Entering, addresses Hérculës.*] Hail, O son of Jove, and of the blood of Pérseus.

Hercules. Joy thou too, Admétus, king of the Thessálians.

Admetus. Would I could:—I know, however, that thou art well-disposed towards me. Hercules. [*Looking close.*] For what reason art thou trimmed with the tonsure of mourning?

Admetus. [*Sighing.*] I am about this day to bury a certain dead person. Hercules. May heaven then avert the misfortune from thy children! Admetus. The children whom I begat are alive in the palace.

Hercules. [*Conjecturingly.*] Thy father at least, if he be gone, is indeed full-of-years! Admetus. [*Carelessly.*] Both he lives,—and she who bare me, Hérculës. Hercules. [*With mistrust.*] Surely then at least thy wife Alcéstis is not dead? Admetus. [*Sorrowfully.*] There is a twofold account for me to render of her! Hercules. [*Very gravely.*] Whether as dead speakest thou concerning her, or as living?

525. In MSS. and the early editions τ' is wanting. Pérseus was great grandfather to Hérculës on the mother's side.

527. θέλοιμ' ἂν, (understand the infinitive χαίρειν,) *I wish I could joy* or *rejoice* at meeting an old and a valued friend. Monk observes, as follows:—"ídem lusus est in vóce χαῖρε, Hec. [426.] 430."

528. τί χρῆμα,—subintéllige διὰ, *quáre.* Sic Hec. 971, &c.: πρέπεις récte interpretátur "*insígnis es.*" Monk.

535. διπλοῦς μῦθος, freely, *two accounts.*

ΑΔ. Ἔστιν τε, κοὐκ ἔτ' ἔστιν· ἀλγύνει δέ με. — –|⏑ –||⏑ –|⏑ –||– –|⏑ ⏑
ΗΡ. Οὐδέν τι μᾶλλον οἶδ'· ἄσημα γὰρ λέγεις. — –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ –
ΑΔ. Οὐκ οἶσθα μοίρας ἧς τυχεῖν αὐτὴν χρεών; — –|⏑ –||– –|⏑ –||– –|⏑ –
ΗΡ. Οἶδ' ἀντὶ σοῦ γε κατθανεῖν ὑφειμένην. — –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ –
ΑΔ. Πῶς οὖν ἔτ' ἔστιν, εἴπερ ᾔνεσεν τάδε; — –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ ⏑
ΗΡ. Ἆ, μὴ πρόκλαι' ἄκοιτιν· εἰς τόδ' ἀναβαλοῦ. — –|⏑ –||⏑ –|⏑ –||⏑ ⏑ ⏑|⏑ –
ΑΔ. Τέθνηχ' ὁ μέλλων, χ' ὠ θανὼν οὐκ ἔστ' ἔτι. ⏑ –|⏑ –||– –|⏑ –||– –|⏑ ⏑
ΗΡ. Χωρὶς τό τ' εἶναι, καὶ τὸ μὴ, νομίζεται. — –|⏑ –||– –|⏑ –||⏑ –|⏑ ⏑
ΑΔ. Σὺ τῇδε κρίνεις, Ἡράκλεις, κείνῃ δ' ἐγώ. ⏑ –|⏑ –||– –|⏑ –||– –|⏑ –
ΗΡ. Τί δῆτα κλαίεις; Τίς φίλων ὁ κατθανών; ⏑ –|⏑ –||– –|⏑ –||⏑ –|⏑ –
ΑΔ. Γυνή· γυναικὸς ἀρτίως μεμνήμεθα. ⏑ –|⏑ –||⏑ –|⏑ –||– –|⏑ ⏑
ΗΡ. Ὀθνεῖος, ἤ σοι ξυγγενὴς γεγῶσά τις; ⏑ –|⏑ –||– –|⏑ –||⏑ –|⏑ ⏑
ΑΔ. Ὀθνεῖος· ἄλλως δ' ἦν ἀναγκαία δόμοις. ⏑ –|⏑ –||– –|⏑ –||– –|⏑ –
ΗΡ. Πῶς οὖν ἐν οἴκοις σοῖσιν ὤλεσεν βίον; — –|⏑ –||– –|⏑ –||⏑ –|⏑ ⏑
ΑΔ. Πατρὸς θανόντος, ἐνθάδ' ὠρφανεύετο. ⏑ –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ ⏑
ΗΡ. Φεῦ. Εἴθ' εὕρομέν σ', Ἄδμητε, μὴ λυπούμενον. –|| – –|⏑ –||– –|⏑ –||– –|⏑ ⏑

THE ORDER, AND ENGLISH ACCENTUATION.

ΑΔ. Τε έστι, και έστι ουκ έτι· δε αλγύνει με. ΗΡ. Οίδα ούδεν τι μάλλον· γαρ λέγεις ασήμα. ΑΔ. Ουκ οίσθα μοίρας ἡς χρέων αύτην τύχειν; ΗΡ. Οίδα γε ὑφείμενην κάτθανειν άντι σου. ΑΔ. Πως ουν έστι έτι, είπερ ᾕνεσε τάδε; ΗΡ. Α, μη προκλαίε ακοίτιν· ανάβαλου εις τόδε. ΑΔ. Ὁ μέλλων τεθνήκε, και ὁ θάνων έστι ουκ έτι. ΗΡ. Τε το είναι, και το μη, νομίζεται χώρις. ΑΔ. Συ κρίνεις τῇδε, Ἥρακλεις, δε έγω κείνῃ. ΗΡ. Τι δήτα κλαίεις; Τις φίλων ὁ κάτθανων; ΑΔ. Γύνη· γυναίκος άρτιως μεμνήμεθα. ΗΡ. Οθνείος, η τις γεγώσα ξύγγενης σοι; ΑΔ. Οθνείος· δε άλλως αναγκαία ην δόμοις. ΗΡ. Πως ουν ώλεσε βίον εν σοίσι οίκοις; ΑΔ. Πάτρος θανόντος, ωρφανεύετο ένθαδε. ΗΡ. Φευ. Είθε, Αδμήτε, εύρομεν σε μη λυπούμενον.

TRANSLATION.

ADMETUS. [*Wringing his hands.*] She both is, and is no more: and she grieves me!

HERCULES. I am not one whit the wiser:—for thou talkest obscurely.

ADMETUS. Knowest thou not the fate which it was incumbent on her to meet with? HERCULES. I know indeed that she undertook to die in lieu of thee! ADMETUS. How then is she any more, if that she consented [*Shedding tears.*] to this? HERCULES. Ah, do not weep aforehand for thy wife: wait till the event. ADMETUS. [*Sobbing.*] He that is about to die is dead, and he that is dead is no more. HERCULES. To be, and not to be, are considered quite-different. ADMETUS. Thou judgest in this way, Hérculës, but I in that. HERCULES. Why then weepest thou? What one of thy friends is dead? ADMETUS. [*Sighing.*] A woman:—a woman we lately mentioned. HERCULES. Unconnected-by-birth, or some one born akin to thee? ADMETUS. By-birth-unconnected,—but in other respects dear was she to the family! HERCULES. How, then, departed she life in thy house? ADMETUS. Her father being dead, she lived an orphan here. HERCULES. Alas! I would, Admétus, we had found thee not mourning!

538. οὐδέν τι μᾶλλον οἶδα, *I know nothing in anywise more—I am not one tittle wiser on this subject than at first.*

540. ὑφειμένην, *se summisisse:*—mínùs accuráté vértunt "*pollícitam.*" MONK.

542. For εἰς τόδ', Wakefield learnedly conjectured εἰς τότ': Elmsley, however, ridiculed τότ', and defends τόδ'.

544. Literally, *the to be, and the not, is regarded separate*, that is, *to be alive, and not to be alive, are accounted two distinctly different things.*

548–9. ὀθνεῖος, *foreign — extrinsic—not of the same nation* or *kindred.*

549. ἄλλως válet *áliam ob caúsam:* cónjicit Blomfiéldius ἀλλ' ὡς. MONK.

ΑΔ. Ὡς δὴ τί δράσων τόνδ᾽ ὑποῤῥάπτεις λόγον;	– –|∪ –||– –|∪ –||– –|∪ ∪
ΗΡ. Ξένων πρὸς ἄλλην ἑστίαν πορεύσομαι.	∪ –|∪ –||– –|∪ –||∪ –|∪ ∪
ΑΔ. Ὀυκ ἔστιν, ὦ ᾿ναξ· μὴ τοσόνδ᾽ ἔλθοι κακόν.	– –|∪ –||– –|∪ –||– –|∪ ∪
ΗΡ. Λυπουμένοις ὀχληρὸς, ἐι μόλοι, ξένος.	– –|∪ –||∪ –|∪ –||∪ –|∪ ∪
ΑΔ. Τεθνᾶσιν ὁι θανόντες· ἀλλ᾽ ἴθ᾽ ἐις δόμους.	∪ –|∪ –||∪ –|∪ –||∪ –|∪ –
ΗΡ. Ἀισχρὸν δὲ παρὰ κλαίουσι θοινᾶσθαι φίλοις.	– –|∪ ∪ ∪||– –|∪ –||– –|∪ –
ΑΔ. Χωρὶς ξενῶνές ἐισιν, ὁῖ σ᾽ ἐισάξομεν.	– –|∪ –||∪ –|∪ –||– –|∪ ∪
ΗΡ. Μέθες με, καί σοι μυρίαν ἕξω χάριν.	∪ –|∪ –||– –|∪ –||– –|∪ ∪
ΑΔ. Ὀυκ ἔστιν ἄλλου σ᾽ ἀνδρὸς ἑστίαν μολεῖν.	– –|∪ –||– –|∪ –||∪ –|∪ –
Ἡγοῦ σὺ, τῶνδε δωμάτων ἐξωπίους	– –|∪ –||∪ –|∪ –||– –|∪ –
ξενῶνας ὀίξας· τοῖς τ᾽ ἐφεστῶσιν φράσον,	∪ –|∪ –||– –|∪ –||– –|∪ ∪
σίτων παρεῖναι πλῆθος· ἐν δὲ κλείσατε	– –|∪ –||– –|∪ –||∪ –|∪ ∪
θύρας μεσαύλους· ὀυ πρέπει θοινωμένους	∪ –|∪ –||– –|∪ –||– –|∪ –
κλύειν στεναγμῶν, ὀυδὲ λυπεῖσθαι ξένους.	∪ –|∪ –||– –|∪ –||– –|∪ –
ΧΟ. Τί δρᾷς; Τοσαύτης ξυμφορᾶς προσκειμένης,	∪ –|∪ –||– –|∪ –||– –|∪ –
Ἄδμητε, τολμᾷς ξενοδοχεῖν; Τί μῶρος εἶ;	– –|∪ –||– ∪ ∪|∪ –||∪ –|∪ –

THE ORDER, AND ENGLISH ACCENTUATION.

ΑΔ. Ὡς δη δράσων τι ὑποῤῥάπτεις τόνδε λόγον; ΗΡ. Πορεύσομαι προς άλλην ἕστιαν ξένων. ΑΔ. Ουκ έστι, ω άναξ· μη τοσόνδε κάκον έλθοι. ΗΡ. Οχλήρος ξένος, ει μόλοι, λυπούμενοις. ΑΔ. Ὁι θανόντες τεθνάσι· άλλα ίθι εις δόμους. ΗΡ. Δε αίσχρον θοινάσθαι πάρα κλαιούσι φίλοις. ΑΔ. Ξενώνες, ὁι εισάξομεν σε, είσι χώρις. ΗΡ. Μέθες με, και ἕξω σοι μύριαν χάριν. ΑΔ. Ουκ έστι σε μόλειν ἕστιαν άλλου άνδρος. Ἥγου συ, οίξας ξενώνας εξώπιους τώνδε δώματων· τε φράσον τοις εφεστώσι, παρείναι πλήθος σίτων· δε ενκλείσατε μεσαύλους θύρας· ου πρέπει θοινώμενους ξένους κλύειν στενάγμων, ούδε λυπείσθαι. ΧΟ. Τι δρᾳς; Τοσαύτης ξύμφορας προσκείμενης, τόλμᾳς Αδμήτε, ξενόδοχειν; Τι ει μώρος;

TRANSLATION.

Admetus. As about then to do what, makest thou use of these words? Hercules. I will go to some other fireside of those who receive guests! Admetus. It must not be, O king:—let not so great an ill befal!

Hercules. Molestful is a guest, if he come, to mourners!

Admetus. The dead are dead; wherefore, go into the house.

Hercules. But it is a shameful thing to feast with weeping friends!

Admetus. The guest-chambers, (to which we will conduct thee,) are apart! Hercules. [*Urgently.*] Let me go away, and I shall owe thee ten thousand thanks! Admetus. [*Pressingly.*] It must not be that thou go to another man's hearth.

[*To the chief Page.*] Lead-on thou,—throwing open the guest-rooms that are detached from the house: and tell those who have the management, to let there be plenty of refreshments,—and shut ye the mid-hall doors: it is not fit that feasting guests should hear groans, nor that they should be made sad! [*Exit Hérculës, conducted into the palace.*]

Chorus. [*To Admétus, rebukingly.*] What doest thou? When so great a calamity is present before thee, hast thou the hardihood, Admétus, to receive guests? Wherefore art thou unwise?

553. In place of τόνδ᾽ ὑποῤῥάπτεις λόγον, a few editions have τούσδ᾽ ὑποῤῥάπτεις λόγους, a reading Porson justly censured.

554. ξένων πρὸς ἄλλην ἑστίαν, *unto another hearth of guest-receivers*, for ξένων πρὸς ἄλλων ἑστίαν, *to the hearth of other hosts.*

558. In all MSS. δὲ is wanting. The final syllable of παρὰ, it is asserted, cannot (see Porson at verse 64 of the Oréstës) be lengthened before initial κλ, and consequently without δὲ, for which Elmsley has given τι, the second foot would be a pyrrhic instead of a tribrach.

559. For ὁῖ in this verse, Aldus has ὁῖς.

<table>
<tr><td>ΑΔ. Ἀλλ᾽ ἐι δόμων σφε καὶ πόλεως ἀπήλασα</td><td>– –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ ⏑</td></tr>
<tr><td>ξένον μολόντα, μᾶλλον ἄν μ᾽ ἐπῄνεσας;</td><td>⏑ –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ ⏑</td></tr>
<tr><td>Ὀυ δῆτ᾽, ἐπεί μοι ξυμφορὰ μὲν ὀυδὲν ἂν</td><td>– –|⏑ –||– –|⏑ –||⏑ –|⏑ ⏑</td></tr>
<tr><td>μείων ἐγίγνετ᾽, ἀξενώτερος δ᾽ ἐγώ·</td><td>– –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ –</td></tr>
<tr><td>καὶ πρὸς κακοῖσιν, ἄλλο τοῦτ᾽ ἂν ἦν κακὸν,</td><td>– –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ ⏑</td></tr>
<tr><td>δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.</td><td>⏑ –|⏑ –||– –|⏑ –||– –|⏑ –</td></tr>
<tr><td>Ἀυτὸς δ᾽ ἀρίστου τοῦδε τυγχάνω ξένου,</td><td>– –|⏑ –||– –|⏑ –||⏑ –|– –</td></tr>
<tr><td>ὅταν περ Ἄργους διψίαν ἔλθω χθόνα.</td><td>⏑ –|⏑ –||– –|⏑ –||– –|⏑ ⏑</td></tr>
<tr><td>ΧΟ. Πῶς ὀῦν ἔκρυπτες τὸν παρόντα δαίμονα,</td><td>– –|⏑ –||– –|⏑ –||⏑ –|⏑ ⏑</td></tr>
<tr><td>φίλου μολόντος ἀνδρὸς, ὡς ἀυτὸς λέγεις;</td><td>⏑ –|⏑ –||⏑ –|⏑ –||– –|⏑ –</td></tr>
<tr><td>ΑΔ. Ὀυκ ἄν ποτ᾽ ἠθέλησεν ἐισελθεῖν δόμους,</td><td>– –|⏑ –||⏑ –|⏑ –||– –|⏑ –</td></tr>
<tr><td>ἐι τῶν ἐμῶν τι πημάτων ἐγνώρισε.</td><td>– –|⏑ –||⏑ –|⏑ –||– –|⏑ ⏑</td></tr>
<tr><td>Καὶ τῷ μὲν, ὀῖμαι, δρῶν τάδ᾽, ὀυ φρονεῖν δοκῶ,</td><td>– –|⏑ –||– –|⏑ –||⏑ –|⏑ –</td></tr>
<tr><td>ὀυδ᾽ ἀινέσει με· τἀμὰ δ᾽ ὀυκ ἐπίσταται</td><td>– –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ ⏑</td></tr>
<tr><td>μέλαθρ᾽ ἀπωθεῖν, ὀυδ᾽ ἀτιμάζειν ξένους.</td><td>⏑ –|⏑ –||– –|⏑ –||– –|⏑ –</td></tr>
</table>

<table>
<tr><td>ΧΟ. Ὦ πολύξεινος, καὶ ἐλεύθερος</td><td>[Στροφὴ α′.]</td><td>– ⏑|– –||– ⏑ ⏑ –||⏑ ⏑</td><td>α′</td></tr>
<tr><td>ἀνδρὸς ἀεί ποτ᾽ ὀῖκος,</td><td></td><td>– ⏑ ⏑ –||⏑ –|⏑</td><td>β′</td></tr>
</table>

THE ORDER, AND ENGLISH ACCENTUATION.

ΑΔ. Ἀλλα ει απήλασα δόμων και πόλεως σφε μολόντα ξένον, αν επήνεσας με μάλλον; Ου δῆτα, έπει ξύμφορα μοι μεν αν εγίγνετο ούδεν μείων, δε έγω αξενώτερος· και προς κακοίσι, αν ην τούτο άλλο κάκον, τους έμους δόμους καλείσθαι εχθρόξενους. Δε αύτος τύγχανω τούδε αρίστου ξένου, ὅταν περ έλθω δίψιαν χθόνα Ἀργους. ΧΟ. Πως ουν εκρύπτες τον παρόντα δαίμονα, φίλου άνδρος, ώς αύτος λέγεις, μολόντος; ΑΔ. Ουκ αν πότε ηθελήσε εισείλθειν δόμους, ει εγνώρισε τι των έμων πήματων. Και τῳ μεν, οίμαι, δόκω, δρων τάδε, ου φρόνειν, ούδε αίνεσει με· δε τα έμα μελάθρα ουκ επίσταται απώθειν, ούδε ατιμάζειν ξένους. ΧΟ. Ω πολυξείνος, και άει πότε ελεύθερος οίκος άνδρος,

TRANSLATION.

Admetus. But if I had driven from my house, and the city, him who had come my guest, wouldest thou have praised me rather?

No in sooth,—since my calamity indeed would have been nothing the less, and I the more inhospitable: and in addition to my evils, there would have been this other calamity,—that my house would have been called the stranger-hating mansion. [*Pleasedly.*] But I myself find this man a most excellent host, whensoever I visit the thirsty land of Argos!

Chorus. Why then didst thou conceal thy present fate, when a man thy friend, as thou thyself sayest, came?

Admetus. He never would have been willing to enter the house, if he had known aught of my sufferings. And to him indeed, I wot, do I appear, acting thus, to have judged unwisely, nor will he praise me: but my roof knows not to drive away, nor to dishonor visitors. [*Exit Admetus, repairing into the palace.*]

Chorus. O greatly-hospitable, and ever liberal mansion of this man,

573. Simília dícit ínfrà, vèr. 1058, ἀλλ᾽ ἄλγος ἄλγει τοῦτ᾽ ἂν ἦν προσκείμενον,—ἐίπερ πρὸς ἄλλου δώμαθ᾽ ὡρμήθης ξένου. Monk.

574. For καλεῖσθαι, Lascar has κεκλῆσθαι, nor badly.

581. Monk says: "τῷ pro τινὶ accípiunt Heáthius et Markiándus." Had the reading been καί τω, then indeed would τῳ have stood for τινί,—whereas τῷ with an accent can stand only for itself,—or for τίνι, with interrogation.

584. Barnes, contrary to every authority, as well as to the metre, edited πολύξενος, induced no doubt by the words φιλόξενος, ἐχθρόξενος, and the like. But it is well known that in the choruses the Ionic dialect was admissible, and that ξεῖνος for ξένος occurs even in iambic verse.

σέ τοι καὶ ὁ Πύθιος |∪–∪∪||–∪∪ γ′
εὐλύρας Ἀπόλλων |–∪|–∪||–– δ′
ἠξίωσε ναίειν· |–∪|–∪||–– ε′
ἔτλα δὲ σοῖσι μηλονόμας |∪–|∪–||∪–||∪∪– ζ′
ἐν δόμοις γενέσθαι, |–∪|–∪||–– η′
δοχμιᾶν διὰ κλιτύων |–∪||–∪∪–||∪– θ′
βοσκήμασι σοῖσι συρίζων |––∪∪||–∪–||–– ι′
ποιμνίτας ὑμεναίους. |––|–∪∪|–– κ′

———

Ξὺν δ' ἐποιμαίνοντο, χαρᾷ μελέ- [Ἀντιστρ. α′.] |–∪|––||–∪∪–||∪∪ α′
ων, βαλιαί τε λύγκες, |–∪∪–||∪–|∪ β′
ἔβα τε λιποῦσ' Ὄθρυ- |∪–∪∪||–∪∪ γ′
ος νάπαν λεόντων |–∪|–∪||–– δ′
ἁ δαφοινὸς ἴλα. |–∪|–∪||–– ε′
Χόρευσε δ' ἀμφὶ σὰν κιθάραν, |∪–|∪–||∪–|∪∪– ζ′
Φοῖβε, ποικιλόθριξ |–∪|–∪||–– η
νεβρὸς, ὑψικόμων πέραν |–∪||–∪∪–||∪– θ′
βαίνουσ' ἐλατᾶν σφυρῷ κούφῳ, |––∪∪||–∪–||–– ι′
χαίρουσ' εὔφρονι μολπᾷ. |––|–∪∪|–– κ′

———

Τοιγὰρ πολυμηλοτάταν [Στροφὴ β′.] |––∪∪||–∪∪– α′
ἑστίαν οἰκεῖς παρὰ καλλίναον |–∪––||–∪∪–||∪∪– β′

THE ORDER, AND ENGLISH ACCENTUATION.

σε τοι και ὁ Πύθιος εὔλυρας Απόλλων ηξιώσε ναίειν· δε έτλα γενέσθαι μηλόνομας εν σοίσι δόμοις, συρίζων σοίσι βοσκήμασι δία δόχμιαν κλίτυων ποιμνίτας ὑμεναίους. Δε ξυνεποιμαινόντο, χάρᾳ μέλεων, τε βάλιαι λύγκες, τε ἁ δαφοίνος ίλα λεόντων, λιπούσα νάπαν 'Οθρυος, έβα. 'Αμφι σαν κίθαραν δε, Φοίβε, χορεύσε ποικιλόθριξ νέβρος, βαινούσα κούφῳ σφύρῳ πέραν ὑψίκομων έλαταν, χαιρούσα εύφρονι μόλπᾳ. Τοίγαρ οίκεις πολυμηλόταταν ἕστιαν, πάρα καλλίναον

TRANSLATION.

thee troth did even the Pýthian Apóllo, master of the lyre, deign to inhabit: and he endured to become a shepherd in thine abodes,—piping to thy flocks across the slanting hills, his pastoral lays!

And there were wont to feed with him, through delight of his minstrelsy, the spotted lynxes,—and the tawny troop of lions, having left the forest of Othrys, came.

Around thy harp too, O Phoébus, frisked the dappled fawn, advancing with light step beyond the lofty-crested pines, joying in the gladdening strain! [*Looking round exultingly towards the palace.*] Wherefore thou inhabitest a home most abundant in flocks beside the fair-flowing

586. For καὶ ὁ, Lascar here edited χ'ὠ.

587. εὐλύρας, *good-lyrist*, that is, *master of the lyre* or *harp.*

588. ἠξίωσε ναίειν, *dignátus est habitáre, he vouchsafed* or *condescended to inhabit.*—Monk bids the reader compare this passage with verse 659 of the Andrómachë, and likewise with καὶ ξυντράπεζον ἀξιοῖς ἔχειν βίον, Æschyli Prom. Vinct. 223.

591. κλυτείων Scholiástes mendóse scílicet pro κλειτύων. Scholiástæ explicátio in editióne Barnésii sic légitur: κλυτείων· τῶν ἀνακεκλιμένων καὶ πλαγίων ὀργάδων: sed Arsénius dédit ὀργῶν: lége ígitur, uníus litérulæ mutatióne, ὀρέων. Monk.

593. ποιμνίτας: íta MS. únum Pariénse, et edítio Lascáris,—eâdem analógiâ quâ ὁπλίτης, ὁρίτης, χωρίτης, δενδρίτης. Editióne Aldinâ, ποιμνήτας. Musgrave.

598. δαφοινὸς, *blood-coloured—tawny.*

605. Monk has οἰκεῖ, contrary to every authority, and (in my opinion) to the intention of the author—as well as to the action of the drama, and the sense.

Βοιβίαν λίμναν· ἀρότοις δὲ γυᾶν, — ¦– ⏑ – – ‖ – ⏑ ⏑ – ‖ ⏑ ⏑ – γʹ
καὶ πεδίων δαπέδοις ὅρον, — ¦– ⏑ ⏑ | – ⏑ ⏑ | – ⏑ ⏑ δʹ
ἀμφὶ μὲν ἀελίου κνεφαίαν — ¦– ⏑ ⏑ | – ⏑ ⏑ ‖ – ⏑ | – – εʹ
ἱππόστασιν, αἰθέρα — ¦– – ⏑ ⏑ ‖ – ⏑ ⏑ ζʹ
τὰν Μολοσσῶν τίθεται, — ¦– ⏑ – ‖ – ⏑ ⏑ – ηʹ
πόντιον δ' Αἰγαῖον ἐπ' ἀκτὰν — ¦– ⏑ ⏑ – ‖ – ⏑ ⏑ – ‖ – θʹ
ἀλίμενον Πηλίου κρατύνει. — ¦– ⏑ ⏑ – ⁞ – ⏑ | – ⏑ ‖ – – ιʹ

Καὶ νῦν δόμον ἀμπετάσας, ['Αντιστρ. βʹ.] — ¦– – ⏑ ⏑ ‖ – ⏑ ⏑ – αʹ
δέξατο ξεῖνον νοτερῷ βλεφάρῳ, — ¦– ⏑ – – ‖ – ⏑ ⏑ – ‖ ⏑ ⏑ – βʹ
τᾶς φίλας κλαίων ἀλόχου νέκυν ἐν — ¦– ⏑ – – ‖ – ⏑ ⏑ – ‖ ⏑ ⏑ – γʹ
δώμασιν ἀρτιθανῆ· τὸ γὰρ — ¦– ⏑ ⏑ | – ⏑ ⏑ | – ⏑ ⏑ δʹ
εὐγενὲς ἐκφέρεται πρὸς αἰδῶ. — ¦– ⏑ ⏑ | – ⏑ ⏑ ‖ – ⏑ | – – εʹ
Ἐν τοῖς ἀγαθοῖσι δὲ — ¦– – ⏑ ⏑ ‖ – ⏑ ⏑ ζʹ
πάντ' ἔνεστιν σοφίας. — ¦– ⏑ – ‖ – ⏑ ⏑ – ηʹ
Πρὸς δ' ἐμᾷ ψυχᾷ θράσος ἧσται, — ¦– ⏑ – – ‖ – ⏑ ⏑ – ‖ ⏑ θʹ
θεοσεβῆ φῶτα κεδνὰ πράξειν. — ¦– ⏑ ⏑ – ‖ – ⏑ | – ⏑ ⁞ – – ιʹ

THE ORDER, AND ENGLISH ACCENTUATION.

Βοίβιαν λίμναν· δε άροτοις γύαν, και δάπεδοις πέδιων, άμφι κνεφαίαν ἱππόστασιν μεν αέλιου, τίθεται ταν αίθερα Μολόσσων ὅρον, δε κρατύνει έπι αλίμενον άκταν Αιγαίον πόντιον Πήλιου. Και νυν αμπέτασας δόμον, νότερῳ βλέφαρῳ δέξατο ξείνον, κλαίων νέκυν τας φίλας άλοχου, αρτίθαιη εν δώμασι· γαρ το εύγενες εκφέρεται προς αίδω. Δε εν τοις αγαθοίσι ενέστι πάντα σόφιας. Δε θράσος ἧσται προς έμᾳ ψύχᾳ, θεόσεβη φώτα πράξειν κέδνα.

TRANSLATION.

lake of Boébë: and to the tillage of his fields, and the extent of his plains, towards the dusky setting indeed of the sun, he makes the clime of the Molóssians the limit,—and holds-dominion as far as the portless shore of the Ægéan sea at Pélion.

And now, having thrown-open his mansion, he hath with humid eyelid received his guest,—weeping over the corse of his beloved consort just-now-dead in the palace:—for a noble disposition is prone to acts of respect.

[*With placidness and an air expressive of hope.*] But in the good there is inherent all manner of wisdom! And confidence sits on my soul that the man who reveres the Gods will fare prosperously!

606. *γύαν* Lascáris: *γυιὰν* Aldus, et sic vúlgò:—*γυᾶν* corréxit Barnésius. Hic lócus víros dóctos míserè exércuit. Alii contórtis verbórum inversiónibus strúere labórant; álii ut corrúpta et desperáta relínquunt. Sólus intérpretum Wakefiéldius, quod miréris, réctè cépit: *aratiónibus júgerum, et campórum plánis spátiis fínes círca sólis occíduum statiónem, áxem Molossórum síbi státuit:* ne pósthac in hís vérbis hæreátur, sénsus in linguâ vernáculâ exhibéndus est: *he makes the clime of the Molossians the limit to his domain (to his tillage and to his plains) on the west.* Γύη ápud véteres de *árvo*, seù ágro ad arándum ápto dictum est. MONK.

608–9. The Scholiast interpreted κνεφαίαν ἱππόστασιν, rightly by—"τὴν δύσιν, ὅπου ὁ ἥλιος κατὰ κνέφας ἵστησι τοὺς ἵππους καὶ καταλύει."

610. Wakefield (forgetting that αἰθὴρ was sometimes feminine) changed τὰν to τὸν, contrary to every authority.

611. For δ', several MSS. and editions have τ', but badly—on account of μὲν in verse 608, above. Wakefield and Gaisford, on the conjecture of Musgrave, edited 'Αγαΐων' in place of 'Αιγαῖον.

614. For δέξατο, Aldus printed δέξεται: and for ξεῖνον, Lascar has ξένον.

621. θεοσεβῆ φῶτα κεδνὰ πράξειν, *that the pious man will fare deservedly.*

ΑΔ. Ἀνδρῶν Φεραίων ἐυμενὴς παρουσία,	– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –
νέκυν μὲν ἤδη πάντ᾽ ἔχοντα πρόσπολοι	⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑
φέρουσιν ἄρδην ἐις τάφον τε, καὶ πυράν.	⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –
Ὑμεῖς δὲ τὴν θανοῦσαν, ὡς νομίζεται,	– – | ⏑ – || ⏑ – | ⏑ – || ⏑ – | ⏑ ⏑
προσείπατ᾽ ἐξιοῦσαν ὑστάτην ὁδόν.	⏑ – | ⏑ – || ⏑ – | ⏑ – || ⏑ – | ⏑ ⏑
ΧΟ. Καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῷ ποδὶ	– – | ⏑ – || – ⏑ ⏑ | ⏑ – || – – | ⏑ ⏑
στείχοντ᾽, ὀπαδούς τ᾽ ἐν χεροῖν δάμαρτι σῇ	– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –
κόσμον φέροντας, νερτέρων ἀγάλματα.	– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑

ΦΕΡΗΣ.

Ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον·	– – | ⏑ – || ⏑ – | ⏑ – || – – | ⏑ ⏑
ἐσθλῆς γὰρ (ὀυδεὶς ἀντερεῖ) καὶ σώφρονος	– – | ⏑ – || – – | ⏑ – || – – | ⏑ ⏑
γυναικὸς ἡμάρτηκας· ἀλλὰ ταῦτα μὲν	⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑
φέρειν ἀνάγκη, καίπερ ὄντα δύσφορα.	⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑
Δέχου δὲ κόσμον τόνδε, καὶ κατὰ χθονὸς	⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑
ἴτω· τὸ ταύτης σῶμα τιμᾶσθαι χρεών,	⏑ – | ⏑ – || – – | ⏑ – || – – | ⏑ –
ἥτις γε τῆς σῆς προὔθανε ψυχῆς, τέκνον,	– – | ⏑ – || – – | ⏑ – || – – | ⏑ ⏑
καί μ᾽ ὀυκ ἄπαιδ᾽ ἔθηκεν, ὀυδ᾽ ἐίασε σοῦ	– – | ⏑ – || ⏑ – | ⏑ – || – – | ⏑ –
στερέντα γήρᾳ πενθίμῳ καταφθίνειν.	⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –

THE ORDER, AND ENGLISH ACCENTUATION.

ΑΔ. Εὔμενης παρούσια Φεραίων ἄνδρων, πρόσπολοι ήδη φερούσι άρδην νέκυν εχόντα πάντα μεν εις τε τάφον, και πύραν. Δε ὕμεις, ώς νομίζεται, προσείπατε την θανούσαν εξιούσαν ὕστατην ὅδον. ΧΟ. Και μην ὅρω σον πάτερα γηραίῳ πόδι στειχόντα, τε οπάδους φερόντας εν χέροιν κόσμον σῃ δαμάρτι, αγάλματα νέρτερων. ΦΕ. Ἥκω, τέκνον, συγκάμνων σοίσι κακοίσι· γαρ ἁμαρτήκας, ούδεις άντερει, έσθλης και σώφρονος γυναίκος· άλλα ταύτα μεν ανάγκη φέρειν, καίπερ όντα δύσφορα. Δέχου δε τόνδε κόσμον, και ίτω κάτα χθόνος· το σώμα ταύτης χρέων τιμάσθαι, ἥτις γε προέθανε της σης ψύχης, τέκνον, και εθήκε με ουκ απαίδα, ούδε ειάσε κατάφθινειν στερέντα σου πένθιμῳ γήρᾳ.

TRANSLATION.

Admetus. [*Entering from out of the palace, followed by the funeral procession of his beloved queen.*] O kindly presence of you men of Phéræ, my servants are already bearing aloft the corse, with all due honor indeed, to the tomb, and to the pyre. But do ye, as is the custom, salute the deceased going forth on her last journey! [*The Chorus cheers.*]

Chorus. And behold! I see thy father with aged foot advancing, and pages bearing in their hands decoration for thy consort, due honors of those below! [*The procession halts.*]

Pheres. [*Entering, followed by attendants bearing presents.*] I am come, my son, sympathizing with thy misfortunes: for thou hast lost (no one will deny it) a good and a chaste wife: but these things indeed it is requisite for thee to bear, though they are hard to be borne. Accept however [*Pointing to the gifts.*] this decoration,—and let it go with her beneath the earth: her body it is right to honor, who in sooth died a ransom for thy life, my son, and rendered me not childless, neither suffered me to pine away bereft of thee, in an old age doomed to sorrow!

624. The reading of most, if not of all MSS. and editions, is, πρὸς τάφον. On this reading Monk says, 'álteram lectiónem ἐς τάφον, quam pórrigit Eustáthius ad Il. Θ. p. 707, 37, praéfert Blomfiéldius glóssâ Æschyli Prometh. Vinct. 1087, récté, méâ quídèm senténtiâ. Confer vérsum 844, — λέγων θυραῖον κῆδος ἐις τάφον φέρειν.'

629. Wakefield wished to insert τ' before ἀγάλματα. The construction here is that of verse 1051 of the Oréstës.

638. Omnes, praéter Matthiaéum, καταφθινεῖν, quæ vox níhili est. Lascáris πενθήμῳ, et vérsu 642, κὴν ᾅδου. Monk.

Πάσαις δ' ἔθηκεν ἐυκλεέστατον βίον   – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ ⏑ – | ⏑ ⏑
γυναιξὶν, ἔργον τλᾶσα γενναῖον τόδε.   ⏑ – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ ⏑
Ὦ τόνδ' ἐμὸν σώσασ', ἀναστήσασα δὲ   – – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ ⏑
ἡμᾶς πίτνοντας, χαῖρε, κἀν Ἀίδου δόμοις   – – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ –
ἐῦ σοι γένοιτο. Φημὶ τοιούτους γάμους   – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ – – | ⏑ –
λύειν βροτοῖσιν, ἢ γαμεῖν ὀυκ ἄξιον.   – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ – – | ⏑ ⏑
ΑΔ. Ὀύτ' ἦλθες ἐις τόνδ' ἐξ ἐμοῦ κληθεὶς τάφον,   – – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ ⏑
ὀύτ' ἐν φίλοισι σὴν παρουσίαν λέγω.   – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ ⏑ – | ⏑ –
Κόσμον δὲ τὸν σὸν ὀύποθ' ἥδ' ἐνδύσεται·   – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ – – | ⏑ ⏑
ὀυ γάρ τι τῶν σῶν ἐνδεὴς ταφήσεται.   – – | ⏑ – ‖ – – | ⏑ – ‖ ⏑ – | ⏑ ⏑
Τότε ξυναλγεῖν χρῆν σ', ὅτ' ὠλλύμην ἐγώ.   ⏑ – | ⏑ – ‖ – – | ⏑ – ‖ ⏑ – | ⏑ –
Σὺ δ' ἐκποδὼν στὰς, καὶ παρεὶς ἄλλῳ θανεῖν   ⏑ – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ –
νέῳ γέρων ὢν, τόνδ' ἀποιμώζεις νεκρόν;   ⏑ – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ ⏑
Ὀυκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατὴρ,   – – | ⏑ – ‖ – – | ⏑ – ‖ ⏑ – | ⏑ –
ὀυδ' ἡ τεκεῖν φάσκουσα, καὶ κεκλημένη   – – | ⏑ – ‖ – – | ⏑ – ‖ ⏑ – | ⏑ –
μήτηρ μ' ἔτικτε· δουλίου δ' ἀφ' ἅιματος,   – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ ⏑ – | ⏑ ⏑
μαστῷ γυναικὸς σῆς ὑπεβλήθην λάθρα.   – – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ –

THE ORDER, AND ENGLISH ACCENTUATION.

Δε εθήκε βίον πάσαις γυναίξι ευκλεέστατον, τλάσα τόδε γενναίον έργον. Ω σωσάσα τόνδε έμον, δε αναστησάσα ἥμας πιτνόντας, χαίρε, και εν δόμοις Ἀίδου γενοίτο ευ σοι. Φήμι τοιούτους γάμους λύειν βροτοίσι, η ουκ άξιον γάμειν. ΑΔ. Ούτε κλήθεις εξ έμου ήλθες εις τόνδε τάφον, ούτε λέγω σην παρούσιαν εν φιλοίσι. Δε τον σον κόσμον ἥδε ούποτε ενδύσεται· γαρ ου τι ένδεης των σων ταφήσεται. Τότε χρην σε ξυνάλγειν, ὅτε έγω ώλλυμην. Δε συ στας έκποδων, και ων γέρων πάρεις άλλῳ νέῳ θάνειν, αποιμώζεις τόνδε νέκρον; Ουκ ήσθα άρα όρθως πάτηρ τούδε σώματος, ούδε ἡ φασκούσα τέκειν, και κεκλήμενη μήτηρ ετίκτε με· δε άπο δούλιου άιματος λάθρα ὑπεβλήθην μάστῳ σης γυναίκος.

TRANSLATION.

But she has made the life of all women most illustrious, by daring this noble deed! [*Addressing the corpse.*] O thou that hast preserved this my son, and hast upraised us who were falling, farewell,—and in the mansions of Plúto may it be well with thee! [*With great gladness.*] I affirm that such marriages are profitable to men, else it is not meet to marry!

Admetus. [*Scornfully.*] Neither bidden of me hast thou come to this funeral, nor do I count thy presence among things pleasing! But thine ornaments she shall never put on: for in nowise indebted to thy bounties shall she be interred! At that time oughtest thou to have sorrowed with me, when I was perishing. [*Sneeringly.*] But dost thou, who stoodest aloof, and, being thyself old, permittedst another, a young person, to die, dost thou lament over this dead body? Thou wast not, then, really the father of this body of mine,—neither did she who says she bare me (and is called my mother) bring me forth: but sprung from slavish blood I was secretly placed under the breast of thy wife!

641. For τόνδ' ἐμὸν, Matthíæ has τόνδε μὲν,—nor badly.

642. In all MSS. and editions prior to Monk's, the reading is πιτνοῦντας. Wakefield places no comma after χαῖρε, but a full stop after δόμοις,—and this punctuation has been adopted, and very plausibly defended by several of the learned.

644. λύει pro λυσιτελεῖ, (interpretánte Hesýchio,) ut in Medéâ, 566:—vel quod plénè díctum Sóphoclis Œdip. Tyrann. 316, τέλη λύει. Monk.

651. Lascar edited ἀποιμώζῃ conseutingly with MSS.—Aldus has ἀποιμώξεις, and Matthíæ ἀποιμώξει.

652. Dícitur 'τόδε σῶμα' δεικτικῶς pro ἐγὼ, ut saépe áliàs, et Heraclid. ver. 90, et iterùm ver. 529. Barnes.

Ἔδειξας εἰς ἔλεγχον ἐξελθὼν, ὃς εἶ·	∪ – ∣ ∪ – ‖ ∪ – ∣ ∪ – ‖ – – ∣ ∪ –
καί μ᾽ οὐ νομίζω παῖδα σὸν πεφυκέναι.	– – ∣ ∪ – ‖ – – ∣ ∪ – ‖ ∪ – ∣ ∪ ∪
Ἦτ᾽ ἄρα πάντων διαπρέπεις ἀψυχίᾳ,	– – ∣ ∪ – ‖ – ∪ ∪ ∣ ∪ – ‖ – – ∣ ∪ –
ὃς, τηλίκοσδ᾽ ὢν, κἀπὶ τέρμ᾽ ἥκων βίου,	– – ∣ ∪ – ‖ – – ∣ ∪ – ‖ – – ∣ ∪ –
οὐκ ἠθέλησας, οὐδ᾽ ἐτόλμησας θανεῖν	– – ∣ ∪ – ‖ ∪ – ∣ ∪ – ‖ – – ∣ ∪ –
τοῦ σοῦ πρὸ παιδός· ἀλλὰ τήνδ᾽ εἰάσατε	– – ∣ ∪ – ‖ ∪ – ∣ ∪ – ‖ – – ∣ ∪ ∪
γυναῖκ᾽ ὀθνείαν, ἣν ἐγὼ καὶ μητέρα	∪ – ∣ ∪ – ‖ – – ∣ ∪ – ‖ – – ∣ ∪ ∪
πατέρα τ᾽ ἂν ἐνδίκως ἂν ἡγοίμην μόνην.	∪ ∪ ∪ ∣ ∪ – ‖ ∪ – ∣ ∪ – ‖ – – ∣ ∪ –
Καίτοι καλόν γ᾽ ἂν τόνδ᾽ ἀγῶν᾽ ἠγωνίσω,	– – ∣ ∪ – ‖ – – ∣ ∪ – ‖ – – ∣ ∪ –
τοῦ σοῦ πρὸ παιδὸς κατθανών· βραχὺς δέ σοι	– – ∣ ∪ – ‖ – – ∣ ∪ – ∣ ∪ – ∣ ∪ –
πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος·	– – ∣ ∪ – ‖ ∪ – ∣ ∪ – ‖ ∪ – ∣ ∪ ∪
κἀγώ τ᾽ ἂν ἔζων, χ᾽ ἥδε τὸν λοιπὸν χρόνον,	– – ∣ ∪ – ‖ – – ∣ ∪ – ‖ – – ∣ ∪ ∪
κοὐκ ἂν μονωθεὶς ἔστενον κακοῖς ἐμοῖς.	– – ∣ ∪ – ‖ – – ∣ ∪ – ‖ ∪ – ∣ ∪ –
Καὶ μὴν ὅσ᾽ ἄνδρα χρὴ παθεῖν εὐδαίμονα,	– – ∣ ∪ – ‖ ∪ – ∣ ∪ – ‖ – – ∣ ∪ ∪
πέπονθας· ἥβησας μὲν ἐν τυραννίδι,	∪ – ∣ ∪ – ‖ – – ∣ ∪ – ‖ ∪ – ∣ ∪ ∪
παῖς δ᾽ ἦν ἐγώ σοι τῶνδε διάδοχος δόμων,	– – ∣ ∪ – ‖ – – ∣ ∪ ∪ ∪ ‖ ∪ – ∣ ∪ –
ὥστ᾽ οὐκ ἄτεκνος κατθανὼν ἄλλοις δόμον	– – ∣ ∪ – ‖ – – ∣ ∪ – ‖ – – ∣ ∪ ∪
λείψειν ἔμελλες ὀρφανὸν διαρπάσαι.	– – ∣ ∪ – ‖ ∪ – ∣ ∪ – ‖ ∪ – ∣ ∪ ∪

THE ORDER, AND ENGLISH ACCENTUATION.

Εδείξας εξέλθων εις ελέγχον, ὅς ει· και νομίζω με ου πεφύκεναι σον παίδα. Ἤτοι άρα διάπρεπεις πάντων αψύχιᾳ, ὅς, ων τηλικόσδε, και ἥκων έπι τέρμα βίου, ουκ ηθελήσας, ούδε ετολμήσας θάνειν προ του σου παίδος· άλλα ειάσατε τήνδε οθνείαν γυναίκα, ἡν μόνην έγω αν ένδικως αν ἡγοίμην και μήτερα τε πάτερα. Καίτοι γε αν ηγώνισω τόνδε αγώνα κάλον, κάτθανων προ του σου παίδος· δε ὁ λοίπος χρόνος βιώσιμος σοι ην πάντως βράχυς· και τε έγω αν έζων, και ἥδε τον λοίπον χρόνον, και ουκ αν μονώθεις έστενον έμοις κάκοις. Και μην πεπόνθας ὅσα χρη ευδαίμονα άνδρα πάθειν· ἡβήσας μεν εν τυράννιδι, δε έγω ην παις σοι διάδοχος τώνδε δόμων, ὥστε ουκ εμέλλες, κάτθανων ατέκνος, λείψειν δόμον όρφανον άλλοις διάρπασαι.

TRANSLATION.

Thou shewedst when thou camest to the test, who thou art: and I am of opinion that I am not thy son. Else assuredly dost thou exceed all in nothingness of soul, who, being of the age thou art, and having arrived at the very goal of life, neither hadst the will nor the courage to die for thy son: but sufferedst this alien lady *to die,* whom alone I might justly have considered both mother and father. And yet mightest thou have run this race with glory—expiring for thy son: for thy residual lifetime was at all events short:—and I should have lived, and she, the rest of our days; and I should not, bereft of her, be groaning at my miseries. And in sooth thou hadst enjoyed as much as it is requisite for a happy man to enjoy: thou passedst-the-vigor-of-thy-life indeed in sovereign rule, and I was thy son thy successor in the palace, so that thou wast not, by dying childless, about to leave thy house desolate for others to plunder.

658. ἦτ᾽ ἆρα πάντων Lascáris, Aldus, et sîc vúlgò. Réctiùs ἦτ᾽ ἆρ᾽, scílicet ἦτοι ἆρα,—non elísâ diphthóngo ánte lóngam vocálem, (quod putávit Heáthius,) sed crási fáctâ cum α brévi. Monk.

659. Aldus's lection is ὅθ᾽ ἥλικος τ᾽ ὢν: Duport's, ὁ τηλίκοσδ᾽ ὢν: Valckenaer's, εἰ τηλίκοσδ᾽ ὢν. Musgrave, from Lascar and MSS., restored the genuine text.

663. τέ γ᾽ ἐνδίκως editiónes ómnes: sed γέ τε núnquàm conjúngere Atticos mónet Porsónus ad Med. 863. Monk.

667. This line is, with only one alteration, a repetition of line 306 above. In both instances some of the best editions have ἔζην faultily for ἔζων.

671. Both Lascar and Aldus edited δόμον here, and δόμων in the next verse, to the entire destruction of the sense.

673. MSS. and Lascar have διαρπάσειν.

Ὀυ μὴν ἐρεῖς γέ μ', ὡς ἀτιμάζων τὸ σὸν — – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ – – | ⏑ ⏑
γῆρας θανεῖν προὔδωκά σ', ὅστις ἀιδόφρων — – – | ⏑ – ‖ – – | ⏑ – ‖ ⏑ – | ⏑ –
πρός σ' ἦν μάλιστα· κἀντὶ τῶνδέ μοι χάριν — – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ ⏑ – | ⏑ ⏑
τοιάνδε καὶ σύ χ' ἡ τεκοῦσ' ἠλλαξάτην· — – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ – – | ⏑ –
τοιγὰρ φυτεύων παῖδας ὀυκ ἔτ' ἂν φθάνοις, — – – | ⏑ – ‖ – – | ⏑ – ‖ ⏑ – | ⏑ –
ὁὶ γηροβοσκήσουσι, καὶ θανόντα σε — – – | ⏑ – ‖ – – | ⏑ – ‖ ⏑ – | ⏑ ⏑
περιστελοῦσι, καὶ προθήσονται νεκρόν· — ⏑ – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ – – | ⏑ ⏑
ὀυ γάρ σ' ἔγωγε τῇδ' ἐμῇ θάψω χερί· — – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ – – | ⏑ ⏑
τέθνηκα γὰρ δὴ τοὐπί σ'· ἐι δ' ἄλλου τυχὼν — ⏑ – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ –
σωτῆρος ἀυγας ἐισορῶ, κείνου λέγω — – – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ –
καὶ παῖδά μ' ἐῖναι, καὶ φίλον γηροτρόφον. — – – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ ⏑
Μάτην ἄρ' ὁι γέροντες ἐύχονται θανεῖν, — ⏑ – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ – – | ⏑ –
γῆρας ψέγοντες, καὶ μακρὸν χρόνον βίου· — – – | ⏑ – ‖ – – | ⏑ – ‖ ⏑ – | ⏑ –
ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, ὀυδ' ἐῖς βούλεται — – – | ⏑ – ‖ – ⏑ ⏑ | ⏑ – ‖ – – | ⏑ ⏑
θνήσκειν, τὸ γῆρας δ' ὀυκέτ' ἔστ' ἀυτοῖς βαρύ. — – – | ⏑ – ‖ – – | ⏑ – ‖ – – | ⏑ ⏑
ΧΟ. Παύσασθ'· ἅλις γὰρ ἡ παροῦσα συμφορά· — – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ ⏑ – | ⏑ –
ὦ παῖ, πατρὸς δὲ μὴ παροξύνῃς φρένα. — – – | ⏑ – ‖ ⏑ – | ⏑ – ‖ – – | ⏑ ⏑

THE ORDER, AND ENGLISH ACCENTUATION.

Ου μην έρεις με γε, ὡς ατιμάζων το σον γήρας προ-εδώκα σε θάνειν, ὅστις ην μαλίστα αίδοφρων προς σε· και άντι τάνδε και συ και ἡ τεκούσα ηλλάξατην μοι τοιάνδε χάριν· τοίγαρ ούκετι αν φθάνοις φυτεύων παίδας, ὁι γηροβοσκούσι, και περιστελλούσι σε θανόντα, και προθησόνται νέκρον· γαρ εγώγε ου θάψω σε τῇδε έμῃ χέρι· γαρ δη τεθνήκα το έπι σε· δε ει τύχων άλλου σωτήρος είσορω αύγας, λέγω με είναι και παίδα κείνου, και φίλον γηρότροφον. Μάτην άρα ὁι γερόντες ευχόνται θάνειν, ψεγόντες γήρας, και μάκρον χρόνον βίου· δε ην θάνατος έλθῃ έγγυς, ούδε είς βούλεται θνήσκειν, δε το γήρας έστι ούκετι βάρυ αύτοις. ΧΟ. Παυσάσθε· γαρ ἡ παρούσα σύμφορα ἅλις· δε μη, ω παι, παροξύνῃς φρένα πάτρος.

TRANSLATION.

Thou canst not, however, say of me at least, that dishonouring thine old age I gave thee up to die, I who have been particularly respectful towards thee:—and for this both thou and she who bare me have made me such return: wherefore thou hast no longer to defer begetting children, who will succour thee in thine old age, and deck thee when dead, and lay out thy corse: for I will not bury thee with this mine hand; for ere now died I as far as in thee lay—and if, having met with another deliverer, I view the light, I say that I am both his child, and the friendly supporter of his age.

Preposterously then do old folks pray to be dead, complaining of advanced age, and the weary hours of life; for if death draw near, not one is willing to die, and [*With a smile of ridicule and contempt.*] old age is no longer burdensome to them.

Chorus. Desist ye,—for the present calamity is enough: and [*To Admétus.*] do not, O my son, exasperate the mind of thy father!

674–5. The reading in all editions prior to Monk's is ἀτιμάζοντα σὸν γῆρας θανεῖν προὔδωκας: yet Monk is borne out by the Florentine and two Parisian MSS. Our editor thinks the discrepancy first arose from some copyist writing προὔδωκας instead of προὔδωκά σ'.

678. Elmsley explained ὀυκ ἂν φθάνοις, (joined with a present participle,) most correctly indeed by '*non prævénies occasiónem.*' Monk has rendered the phrase into English, "*you have no time to lose*, or *you cannot make too much haste.*"

686. μακρὸν χρόνον βίου, strictly, *the long time of life*, meaning "*the tedious time* or *wearisome hours of frail old age.*"

687. For ὀυδ' ἐῖς, MSS. and editions in general have ὀυδεὶς, but less elegantly.

<table>
<tr><td>ΦΕ. Ὦ παῖ, τίν' ἀυχεῖς, πότερα Λυδὸν ἢ Φρύγα,</td><td>– – | ⏑ – || – ⏑ ⏑ | ⏑ – || ⏑ – | ⏑ ⏑</td></tr>
<tr><td>κακοῖς ἐλαύνειν, ἀργυρώνητον σέθεν;</td><td>⏑ – | ⏑ – || – – | ⏑ – || – – | ⏑ ⏑</td></tr>
<tr><td>Ὀυκ ὄῖσθα Θεσσαλόν με, κἀπὸ Θεσσαλοῦ</td><td>– – | ⏑ – || ⏑ – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>πατρὸς γεγῶτα, γνησίως ἐλεύθερον;</td><td>⏑ – | ⏑ – || ⏑ – | ⏑ – || ⏑ – | ⏑ ⏑</td></tr>
<tr><td>Ἄγαν ὑβρίζεις, καὶ νεανίας λόγους</td><td>⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>ῥίπτων ἐς ἡμᾶς, ὀυ βαλὼν ὅυτως ἄπει.</td><td>– – | ⏑ – || – – | ⏑ – || – – | ⏑ –</td></tr>
<tr><td>Ἐγὼ δέ σ' ὄίκων δεσπότην ἐγεινάμην,</td><td>⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>κἄθρεψ', ὀφείλων ὀυχ ὑπερθνήσκειν σέθεν·</td><td>– – | ⏑ – || – – | ⏑ – || – – | ⏑ ⏑</td></tr>
<tr><td>ὀυ γὰρ πατρῷον τόνδ' ἐδεξάμην νόμον,</td><td>– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑</td></tr>
<tr><td>παίδων προθνήσκειν πατέρας, ὀυδ' Ἑλληνικόν·</td><td>– – | ⏑ – || – ⏑ ⏑ | ⏑ – || – – | ⏑ ⏑</td></tr>
<tr><td>σαυτῷ γὰρ, ἔιτε δυστυχὴς ἔιτ' ἐυτυχὴς,</td><td>– – | ⏑ – || ⏑ – | ⏑ – || – – | ⏑ –</td></tr>
<tr><td>ἔφυς· ἃ δ' ἡμῶν χρῆν σε τυγχάνειν, ἔχεις.</td><td>⏑ – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>Πολλῶν μὲν ἄρχεις, πολυπλέθρους δέ σοι γύας</td><td>– – | ⏑ – || – ⏑ ⏑ | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>λείψω· πατρὸς γὰρ ταῦτ' ἐδεξάμην πάρα.</td><td>– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ ⏑</td></tr>
<tr><td>Τί δῆτά σ' ἠδίκηκα; Τοῦ σ' ἀποστερῶ;</td><td>⏑ – | ⏑ – || ⏑ – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
<tr><td>Μὴ θνῆσχ' ὑπὲρ τοῦδ' ἀνδρὸς, ὀυδ' ἐγὼ πρὸ σοῦ.</td><td>– – | ⏑ – || – – | ⏑ – || ⏑ – | ⏑ –</td></tr>
</table>

THE ORDER, AND ENGLISH ACCENTUATION.

ΦΕ. Τίνα, ω παι, αύχεις ελαύνειν κάκοις, πότερα Λύδον ɲ Φρύγα, αργυρωνήτον σέθεν; Ουκ οίσθα με Θέσσαλον, και γεγώτα άπο Θέσσαλου πάτρος, γνήσιως ελεύθερον; Υβρίζεις άγαν, και ρίπτων ες ήμας λόγους νεάνιας, βάλων ουκ όύτως άπει. Δε έγω εγείναμην σε δέσποτην οίκων, και εθρέψα, ουκ οφείλων ὑπερθνήσκειν σέθεν· γαρ ουκ εδέξαμην τόνδε πατρῷον, ούδε Ἑλλήνικον νόμον, πάτερας προθνήσκειν παίδων· γαρ έφυς σαύτῳ, είτε δύστυχης είτε εύτυχης· δε ά ήμων χρην σε τύγχανειν, έχεις. Ἀρχεις μεν πόλλων, δε λείψω σοι πολύπλεθρους γύας· γαρ ταύτα εδέξαμην πάρα πάτρος. Τι δήτα ηδικήκα σε; Του απόστερω σε; Μη θνήσκε ὕπερ τούδε άνδρος, ούδε έγω προ σου.

TRANSLATION.

Pheres. [*To Admétus.*] Whom, O son, dost thou presume thou art gibing with thy reproaches, whether a Lýdian or a Phrýgian, purchased by thee with money?

Knowest thou not that I am a Thessálian, and sprung from a Thessálian father, truly free? Thou art over insolent,—and casting at us the words of youthful-age, shalt not, having cast them, thus depart!

But I begat thee lord of my house, and I brought thee up,—not thy debtor to die for thee:—seeing I received not this patriarchal, nor yet Grecian law, "*That fathers should die for their children:*" for thou wast born for thyself—whether unfortunate or fortunate: and what from us it behoved thee to have, thou hast.

Thou rulest indeed over many, and I will leave thee extensive territories—for these I received from my father.

In what then have I wronged thee? Of what do I defraud thee? Die not thou for me, neither will I for thee!

691. ἀυχεῖς seems here usurped in the sense of "*presumest thou*" rather than of "*gloriest thou:*" so in verse 95, above, ὀυκ ἀυχῶ, *I presume not*.

695. ἄγαν μ' ὑβρίζεις éditi: solébant aútèm librárii líteram post ἄγαν interpoláre, nesciéntes scílicet últimam hújus vócis prodúci:—νεανία hìc válet *aúdax, fórtis, véhemens*. Monk.

698. For ὀφείλων, in this verse, Lascar has ὀφείλω, badly: and for ὑπερθνήσκειν Aldus and most of the early editions have ὑπερθνήσκων. Markland conjectured ὀφέλλειν and ὑπερθνήσκειν.

701. Elmsley thought that Eurípidës may have written δυστυχεῖς and ἐυτυχεῖς, not δυστυχὴς and ἐυτυχής.

703. Wakefield, but certainly without any reason whatever, conjectured ἀρχάς. Aldus and his followers give γυίας, *viz.* a spondee for the last foot: Barnes tacitly restored the genuine lection.

Χαίρεις ὁρῶν φῶς, πατέρα δ' ου χαίρειν δοκεῖς; – –|⏑ –||– ⏑ ⏑|⏑ –||– –|⏑ –
Ἦ μὴν πολύν γε τὸν κάτω λογίζομαι – –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ ⏑
χρόνον, τὸ δὲ ζῇν σμικρὸν, ἀλλ' ὅμως γλυκύ. ⏑ –|⏑ –||– –|⏑ –||⏑ –|⏑ ⏑
Σύ γ' οὖν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν, ⏑ –|⏑ –||– ⏑ ⏑|⏑ –||⏑ –|⏑ –
καὶ ζῇς παρελθὼν τὴν πεπρωμένην τύχην, – –|⏑ –||– –|⏑ –||⏑ –|⏑ –
ταύτην κατακτάς· εἶτ' ἐμὴν ἀψυχίαν – –|⏑ –||– –|⏑ –||– –|⏑ –
λέγεις, γυναικὸς, ὦ κάκισθ', ἡσσημένος, ⏑ –|⏑ –||⏑ –|⏑ –||– –|⏑ ⏑
ἣ τοῦ καλοῦ σοῦ προὔθανεν νεανίου; – –|⏑ –||– –|⏑ –||⏑ –|⏑ –
Σοφῶς δ' ἐφεῦρες, ὥστε μὴ θανεῖν ποτὲ, ⏑ –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ ⏑
ἐι τὴν παροῦσαν κατθανεῖν πείσεις ἀεὶ – –|⏑ –||– –|⏑ –||– –|⏑ –
γυναῖχ' ὑπὲρ σοῦ· κᾆτ' ὀνειδίζεις φίλοις ⏑ –|⏑ –||– –|⏑ –||– –|⏑ –
τοῖς μὴ θέλουσι δρᾷν τάδ', αὐτὸς ὢν κακός; – –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ ⏑
Σίγα· νόμιζε δ', ἐι σὺ τὴν σαυτοῦ φιλεῖς – –|⏑ –||⏑ –|⏑ –||– –|⏑ –
ψυχὴν, φιλεῖν ἅπαντας· ἐι δ' ἡμᾶς κακῶς – –|⏑ –||⏑ –|⏑ –||– –|– –
ἐρεῖς, ἀκούσει πολλὰ κοὐ ψευδῆ κακά. ⏑ –|⏑ –||– –|⏑ –||– –|⏑ ⏑
ΧΟ. Πλείω λέλεκται νῦν τε καὶ τὰ πρὶν κακά· – –|⏑ –||– –|⏑ –||⏑ –|⏑ ⏑
παῦσαι δὲ, πρέσβυ, παῖδα σὸν κακοῤῥοθῶν. – –|⏑ –||⏑ –|⏑ –||⏑ –|⏑ –

THE ORDER, AND ENGLISH ACCENTUATION.

Χαίρεις ὅρων φως, δε δοκεῖς πάτερα ου χαίρειν; Η μην λογίζομαι τον χρόνον κάτω γε πόλυν, δε το ζῃν σμίκρον, άλλα ὅμως γλύκυ. Συ ουν αναίδως γε διέμαχου το μη θάνειν, και ζῃς παρέλθων την πεπρώμενην τύχην, κατάκτας ταύτην· είτα λέγεις έμην αψύχιαν, ω κακίστε, ἡσσήμενος γυναίκος, ἡ προ-έθανε σου του κάλου νεάνιου; Δε εφεύρες σόφως, ὥστε μη πότε θάνειν, ει πείσεις την άει παρούσαν γυναίκα κάτθανειν ὕπερ σου· και είτα ονειδίζεις φίλοις τοις μη θελούσι δραν τάδε, ων αύτος κάκος; Σίγα· δε νομίζε, ει συ φίλεις την ψύχην σαύτου, ἀπάντας φίλειν· δε ει έρεις κάκως ἥμας, ακούσει πόλλα κάκα και ου ψεύδη. ΧΟ. Πλείω κάκα λελέκται τε νυν και τα πριν· δε παύσαι, πρέσβυ, κακόῤῥοθων σον παίδα.

TRANSLATION.

